ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

1 ΠΑΥΛΟΣ δῦλος ἰησῦ χρισῦ, κλητὸς ἀπόστολος, ἀ-
2 φωρισμένος εἰς εὐαγγέλιον θεῦ, ὃ προεπηγγείλα-
το διὰ τῶν προφητῶν αὐτῦ ἐν γραφαῖς ἁγίαις,
3 περὶ τῦ υἱῦ αὐτῦ, τῦ γενομένυ ἐκ σπέρματος δαυὶδ, κα-
4 τὰ σάρκα, τῦ ὁριθέντος υἱῦ θεῦ ἐν δυνάμει, κατὰ
πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, ἰησῦ χρισῦ τῦ
5 κυρίυ ἡμῶν, δι᾽ ὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπα-
κοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τῦ ὀνόματος αὐ-
6. 7 τῦ, ἐν οἷς ἐστε καὶ ὑμεῖς, κλητοὶ ἰησῦ χρισῦ· πᾶσι
τοῖς οὖσιν ἐν ῥώμῃ ἀγαπητοῖς θεῦ, κλητοῖς ἁγίοις· χάρις
ὑμῖν καὶ εἰρήνη ἀπὸ θεῦ πατρὸς ἡμῶν καὶ κυρίυ ἰησῦ χρισῦ.
8 Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μυ διὰ ἰησῦ χρισῦ ὑπὲρ
πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ
9 κόσμῳ· μάρτυς γάρ μυ ἐστὶν ὁ θεὸς, ᾧ λατρεύω ἐν τῷ
πνεύματί μυ ἐν τῷ εὐαγγελίῳ τῦ υἱῦ αὐτῦ, ὡς ἀδιαλεί-
10 πτως μνείαν ὑμῶν ποιοῦμαι, πάντοτε ἐπὶ τῶν προσευχῶν
μυ δεόμενος, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελή-
11 ματι τῦ θεῦ, ἐλθεῖν πρὸς ὑμᾶς· ἐπιποθῶ γὰρ ἰδεῖν
ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν, εἰς τὸ
12 στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν
13 ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμῦ· οὐ θέ-
λω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι πολλάκις προεθέμην ἐλθεῖν
πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τῦ δεῦρο, ἵνα τινὰ καρπὸν
14 σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. ἕλ-

Rom. I. 4 ὁριθέντος] προορισθέντος a

λησί

λησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί·
ὅτω τὸ κατ' ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν ῥώμῃ εὐαγγε- 15
λίσασθαι· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον ° τȣ̃ χρι- 16
σȣ̃· δύναμις γὰρ θεȣ̃ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύον-
τι, ἰȣδαίῳ τε ° πρῶτον καὶ ἕλληνι. δικαιοσύνη γὰρ θεȣ̃ 17
ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέ-
γραπται, Ο δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

ΑΠΟΚΑΛΥΠΤΕΤΑΙ γὰρ ὀργὴ θεȣ̃ ἀπ' ȣ̓ρανȣ̃ ἐπὶ πᾶ- 18
σαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν
ἐν ἀδικίᾳ κατεχόντων. διότι τὸ γνωστὸν τȣ̃ θεȣ̃ φανερόν 19
ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ θεὸς αὐτοῖς ἐφανέρωσε· | τὰ γὰρ ἀό- 20
ρατα αὐτȣ̃ ἀπὸ κτίσεως κόσμȣ τοῖς ποιήμασι νοȣ́μενα κα-
θορᾶται, ἥ τε ἀΐδιος αὐτȣ̃ δύναμις καὶ θειότης· εἰς τὸ εἶ-
ναι αὐτὰς ἀναπολογήτȣς· διότι γνόντες τὸν θεὸν, ȣ̓χ ὡς 21
θεὸν ἐδόξασαν ἢ ἐυχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς
διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίθη ἡ ἀσύνετος αὐτῶν καρ-
δία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν 22
τὴν δόξαν τȣ̃ ἀφθάρτȣ θεȣ̃ ἐν ὁμοιόματι εἰκόνος φθαρτȣ̃ ἀν- 23
θρώπȣ καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. διὸ καὶ 24
παρέδωκεν αὐτὰς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐ-
τῶν εἰς ἀκαθαρσίαν, τȣ̃ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν
ἑαυτοῖς. Οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τȣ̃ θεȣ̃ ἐν 25
τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει πα-
ρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τȣ̀ς αἰῶνας ἀμήν.
διὰ τȣ̃το παρέδωκεν αὐτὰς ὁ θεὸς εἰς πάθη ἀτιμίας· αἵτε 26
γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν
παρὰ φύσιν, ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν 27
χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς
ἀλλήλȣς, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμε-
νοι, καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυ-
τοῖς ἀπολαμβάνοντες. Καὶ καθὼς ȣ̓κ ἐδοκίμασαν τὸν 28
θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτὰς ὁ θεὸς εἰς ἀδόκι-

16 τȣ̃ χριστȣ̃] ' β ¶ πρῶτον] ' δ
19 γὰρ θεὸς] θεὸς γὰρ α 25 ἀμὴν] ' γ

Rom. I. 17 Hab. 2, 4.

μον

29 μον νῶν, ποιεῖν τὰ μὴ καθήκοντα, | πεπληρωμένους πάσῃ
ἀδικίᾳ, ◦ πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς
31 φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· ψιθυριστάς,
καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευ-
31 ρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, | ἀσυνέτους, ἀσυνθέτους, ἀστόρ-
32 γους, ἀσπόνδους, ἀνελεήμονας· οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ
ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν,
οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσιν τοῖς πράσσουσι.

2 Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων· ἐν ᾧ
γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ
2 αὐτὰ πράσσεις ὁ κρίνων. οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ
3 ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. Λογί-
ζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας
4 καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ; ἢ τοῦ
πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μα-
κροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς
5 μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμε-
τανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς
6 καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει
7 ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου
ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώ-
8 νιον· τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ,
9 πειθομένοις δὲ τῇ ἀδικίᾳ· θυμὸς καὶ ὀργὴ, | θλῖψις καὶ
στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου
10 τὸ κακὸν, ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· δόξα δὲ καὶ τι-
μὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, ἰουδαίῳ τε
πρῶτον καὶ Ἕλληνι.
11. 12 Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ. ὅσοι γὰρ
ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νό-
13 μῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. οὐ γὰρ οἱ ἀκροαταὶ
τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δι-
14 καιωθήσονται. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα
φύσει τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς
15 εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν
ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνει-
δήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων

29 πορνείᾳ] ' δ II. 5 καὶ tertium] ' ε
8 θυμὸς καὶ ὀργὴ] ὀργὴ καὶ θυμὸς β

ἢ καὶ

ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυ- 16
πτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου, διὰ ἰησοῦ χρι-
στοῦ. Εἰ δὲ σὺ ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ 17
νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, | καὶ γινώσκεις τὸ θέλημα, 18
καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου·
πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν 19
σκότει, | παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα 20
τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ·
| ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις· ὁ κηρύσσων 21
μὴ κλέπτειν, κλέπτεις· ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις· 22
ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς· ὃς ἐν νόμῳ καυ- 23
χᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις·
τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνε- 24
σι, καθὼς γέγραπται. Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν 25
νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή
σου ἀκροβυστία γέγονεν· ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα 26
τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν
λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον 27
τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην
νόμου. οὐ γὰρ ὁ ἐν τῷ φανερῷ ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ 28
φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ ἰουδαῖος, 29
καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔ-
παινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ. Τί οὖν τὸ 3
περισσὸν τοῦ ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολύ, 2
κατὰ πάντα τρόπον. πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ
λόγια τοῦ θεοῦ· τί γάρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία 3
αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; | μὴ γένοιτο· γινέ- 4
σθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς
γέγραπται, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νι-
κήσῃς ἐν τῷ κρίνεσθαί σε. εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιο- 5
σύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων
τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. μὴ γένοιτο· ἐπεὶ πῶς 6
κρινεῖ ὁ θεὸς τὸν κόσμον; εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ 7
ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κά-
γὼ ὡς ἁμαρτωλὸς κρίνομαι, καὶ μὴ καθὼς βλασφημού- 8

17 εἰ δὲ] ἰδὲ ε

II. 24 Jesa. 52, 5. III. 4 Ps. 116, 11. 51, 6.

μεθα, καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ
9 κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρίμα ἔνδικόν ἐστι. Τί
οὖν; προεχόμεθα; οὐ πάντως· προῃτιασάμεθα γὰρ ἰουδαίους
10 τε καὶ ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι καθὼς γέγρα-
11 πται, ὅτι οὐκ ἔστι δίκαιος οὐδὲ εἷς· οὐκ ἔστιν ὁ συνιῶν, οὐκ
12 ἔστιν ὁ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ-
13 θησαν. οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. | τά-
φος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν
14 ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· | ὧν τὸ στό-
15 μα ἀρᾶς καὶ πικρίας γέμει. ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι
16 αἷμα, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν·
17.18 καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος θεοῦ ἀπέ-
19 ναντι τῶν ὀφθαλμῶν αὐτῶν. οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος
λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ· ἵνα πᾶν στόμα φραγῇ, καὶ
20 ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ. διότι ἐξ ἔργων
νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ
νόμου ἐπίγνωσις ἁμαρτίας.

21 Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυ-
22 ρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν· δικαιοσύνη δὲ θεοῦ
διὰ πίστεως ἰησοῦ χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πι-
23 στεύοντας· οὐ γάρ ἐστι διαστολή. | πάντες γὰρ ἥμαρτον, καὶ
24 ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐ-
τοῦ χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν χριστῷ ἰησοῦ,
25 ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ
αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν
26 τῶν προγεγονότων ἁμαρτημάτων | ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ,
πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ
27 εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως ἰησοῦ. Ποῦ
οὖν ἡ καύχησις; ἐξεκλείσθη· διὰ ποίου νόμου; τῶν ἔργων;
28 οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. λογιζόμεθα ° οὖν, πίστει δι-
29 καιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου. ἢ ἰουδαίων ὁ θεὸς
30 μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς ὁ
θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν
31 διὰ τῆς πίστεως. νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως;
μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν.

III. 28 οὖν] γὰρ β

III. 10 Pſ. 14, 1 ſs. 13 Pſ. 5, 10 140, 4.
14 Pſ. 10, 7. 15 ſs. Jeſa. 59, 7. 8. 18 Pſ. 36, 2.

Τί

Τί ὖν ἐρῦμεν ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ 1
σάρκα; εἰ γὰρ ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύ- 2
χημα, ἀλλ᾽ ὀ πρὸς τὸν θεόν. τί γὰρ ἡ γραφὴ λέγει; 3
Ἐπίστευσε δὲ ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δι-
καιοσύνην. τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς ὀ λογίζεται κατὰ 4
χάριν, ἀλλὰ κατὰ ὀφείλημα· τῷ δὲ μὴ ἐργαζομένῳ, πι- 5
στεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις
αὐτοῦ εἰς δικαιοσύνην. καθάπερ καὶ δαυὶδ λέγει τὸν μα- 6
καρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην,
χωρὶς ἔργων, Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν 7
ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ ὀ μὴ λο- 8
γίσηται Κύριος ἁμαρτίαν. Ο μακαρισμὸς ὖν ὗτος, 9
ἐπὶ τὴν περιτομὴν ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; λέγομεν γὰρ
ὅτι ἐλογίθη τῷ ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην· πῶς ὖν ἐ- 10
λογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; ὀκ ἐν περιτο-
μῇ, ἀλλ᾽ ἐν ἀκροβυστίᾳ· καὶ σημεῖον ἔλαβε περιτομῆς, 11
σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ·
εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι᾽ ἀκρο-
βυστίας, εἰς τὸ λογιθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην· καὶ 12
πατέρα περιτομῆς, τοῖς ὀκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ
τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ τοῦ
πατρὸς ἡμῶν ἀβραὰμ. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία 13
τῷ ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν
εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. εἰ γὰρ οἱ ἐκ 14
νόμου, κληρονόμοι, κενέωται ἡ πίστις, καὶ κατήργηται ἡ
ἐπαγγελία· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· ὀ γὰρ 15
ὀκ ἔστι νόμος, ὀδὲ παράβασις. διὰ τοῦτο ἐκ πίστεως, ἵνα 16
κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ
τῷ σπέρματι, ὀ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ
πίστεως ἀβραὰμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν· καθὼς γέ- 17
γραπται, Ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· κατέ-
ναντι ὀ ἐπίστευσε θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ κα-
λοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. Ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλ- 18
πίδι ἐπίστευσεν, εἰς τὸ γενέθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν,
κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ σπέρμά σου· καὶ μὴ 19

IV. 5 δικαιοσύνην] Vid. Gnom.
11 περιτομῆς] περιτομὴν δ 19 ἤδη] ᾽ ε

IV. 3 Gen. 15, 6. 6 Ps. 32, 1.
17 Gen. 17, 5. 18 Gen. 15, 5.

ἀθενή-

ἀσθενήσας τῇ πίστει, ὃ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενε-
κρωμένον, ἑκατοντάετής πε ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς
20 μήτρας Σάῤῥας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ ὃ διεκρίθη
τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ
21 θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι
22 καὶ ποιῆσαι. διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.
23 Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ·
24 ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ
25 τὸν ἐγείραντα ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, ὃς παρεδό-
θη διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δι-
καίωσιν ἡμῶν.

5 Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν
2 διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, δι' οὗ καὶ τὴν προσα-
γωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκα-
3 μεν· καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ· ὃ
μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες
4 ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκι-
5 μὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς ὃ καταισχύνει· ὅτι
ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύ-
6 ματος ἁγίου τοῦ δοθέντος ἡμῖν· ἔτι γὰρ χριστὸς ὄντων ἡμῶν
7 ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε· μόλις γὰρ
ὑπὲρ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα
8 τις καὶ τολμᾷ ἀποθανεῖν· συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην
εἰς ἡμᾶς ὁ θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν χριστὸς
9 ὑπὲρ ἡμῶν ἀπέθανε· πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν
ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς·
10 εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου
τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα
11 ἐν τῇ ζωῇ αὐτοῦ· ὃ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ
θεῷ διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, δι' οὗ νῦν τὴν καταλ-
λαγὴν ἐλάβομεν.
12 Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν
κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ
οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάν-
13 τες ἥμαρτον. ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ. ἁ-

V. 1 ἔχομεν] ἔχωμεν ε 6 ἀσθενῶν] ἀσθενῶν ἔτι δ
9 οὖν] ᾽ δ 11 καυχώμενοι] καυχώμεθα β

μαρ-

μαρτία δὲ ὐκ ἐλλογεῖται μὴ ὄντος νόμου· ἀλλ᾽ ἐβασίλευ- 14
σεν ὁ θάνατος ἀπὸ ἀδὰμ μέχρι μωσέως καὶ ἐπὶ τοὺς μὴ
ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως ἀδὰμ,
ὅς ἐστι τύπος τοῦ μέλλοντος. Ἀλλ᾽ ὐχ ὡς τὸ παράπτω- 15
μα, οὕτως καὶ τὸ χάρισμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώ-
ματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ
καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου ἰησοῦ χριστοῦ εἰς
τοὺς πολλοὺς ἐπερίσσευσε. καὶ ὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαντος, 16
τὸ δώρημα· τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα,
τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. εἰ 17
γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ
τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ
τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύ-
σουσι διὰ τοῦ ἑνὸς ἰησοῦ χριστοῦ. Ἄρα οὖν ὡς δι᾽ ἑνὸς παρα- 18
πτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτως
καὶ δι᾽ ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους, εἰς δικαί-
ωσιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώ- 19
που ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτως καὶ διὰ τῆς
ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. Νό- 20
μος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. οὗ
δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· ἵνα 21
ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ
χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ ἰησοῦ
χριστοῦ τοῦ κυρίου ἡμῶν.

6

Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις
πλεονάσῃ; 1 μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁ- 2
μαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐ- 3
βαπτίσθημεν εἰς χριστὸν ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβα-
πτίσθημεν; συνετάφημεν οὖν αὐτῷ, διὰ τοῦ βαπτίσματος εἰς 4
τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη χριστὸς ἐκ νεκρῶν διὰ τῆς
δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπα-
τήσωμεν Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι 5
τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, 1 τοῦ- 6
το γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυ-
ρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέ-
τι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ὁ γὰρ ἀποθανὼν δεδικαίω- 7
ται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν χριστῷ, πι- 8

14 μὴ]᾽ ε ¶ ἐπὶ τῷ] ἐν τῷ δ

9 στεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, εἰδότες ὅτι χριστὸς ἐγερ-
θεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκ ἔτι
10 κυριεύει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ·
11 ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νε-
κροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ, ἐν χριστῷ
12 ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν
τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς
13 ἐπιθυμίαις αὐτοῦ· μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα
ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ
ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύ-
14 νης τῷ θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε
ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.
15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ'
16 ὑπὸ χάριν; μὴ γένοιτο· οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυ-
τοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρ-
17 τίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; χάρις δὲ τῷ
θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρ-
18 δίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς· ἐλευθερωθέντες δὲ
19 ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. Ἀνθρώ-
πινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ
παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ
ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτως νῦν παραστήσατε τὰ μέλη
20 ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. ὅτε γὰρ δοῦλοι ἦτε
21 τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. τίνα οὖν καρ-
πὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος
22 ἐκείνων, θάνατος. νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρ-
τίας, δουλωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς
23 ἁγιασμόν τὸ δὲ τέλος, ζωὴν αἰώνιον. τὰ γὰρ ὀψώνια
τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ θεοῦ, ζωὴ αἰ-
7 ώνιος, ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Ἢ ἀγνοεῖτε,
ἀδελφοί· γινώσκουσι γὰρ νόμον λαλῶ· ὅτι ὁ νόμος κυρι-
2 εύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; ἡ γὰρ ὕπανδρος γυνὴ
τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κα-
3 τήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός· ἄρα οὖν ζῶντος τοῦ ἀν-
δρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν
δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ

VI. 11 εἶναι] ' γ ¶ τῷ κυρίῳ ἡμῶν] ' β
12 αὐτῇ ἐν] ' β ¶ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ] ' ε

εἶναι

εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ· ὥστε ἀδελ- 4
φοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος
τοῦ χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερ-
θέντι, ἵνα καρποφορήσωμεν τῷ θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ 5
σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηρ-
γεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θα-
νάτῳ· νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες, 6
ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύμα-
τος, καὶ οὐ παλαιότητι γράμματος.

Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ 7
τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπι-
θυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν, Οὐκ ἐπιθυμή-
σεις. ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία, διὰ τῆς ἐντολῆς κα- 8
τειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν. χωρὶς γὰρ νόμου ἁμαρ-
τία νεκρά· | ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ. ἐλθούσης δὲ 9
τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, | ἐγὼ δὲ ἀπέθανον· καὶ 10
εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον. ἡ γὰρ 11
ἁμαρτία ἀφορμὴν λαβοῦσα, διὰ τῆς ἐντολῆς ἐξηπάτησέ με,
καὶ δι' αὐτῆς ἀπέκτεινεν. ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ 12
ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Τὸ οὖν ἀγαθὸν, 13
ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα
φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον,
ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς
ἐντολῆς. Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· 14
ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ 15
γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο
πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦ- 16
το ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός. νυνὶ δὲ οὐκ ἔτι ἐγὼ 17
κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. Οἶ- 18
δα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, ἀ-
γαθόν. τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζε-
σθαι τὸ καλὸν οὐχ εὑρίσκω. οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν· 19
ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, 20
τοῦτο ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦ-
σα ἐν ἐμοὶ ἁμαρτία. Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι 21
ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. συ- 22

VII. 6 ἀποθανόντες] ἀποθανόντος a
18 οὐχ εὑρίσκω.] ὅ. d

νήδομαι γὰρ τῷ νόμῳ τȣ̃ θεȣ̃ κατὰ τὸν ἔσω ἄνθρωπον·
23 βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μȣ ἀντιστρατευόμενον
τῷ νόμῳ τȣ̃ νοός μȣ, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ
24 τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μȣ. ταλαίπωρος
ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τȣ̃ σώματος τȣ̃ θα-
25 νάτȣ τȣ́τȣ; εὐχαριστῶ τῷ θεῷ διὰ ἰησȣ̃ χριστȣ̃ τȣ̃ κυρίȣ ἡ-
μῶν. ἄρα ȣ̃ν αὐτὸς ἐγὼ τῷ μὲν νοῖ δȣλεύω νόμῳ θεȣ̃·
τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

8 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν χριστῷ ἰησȣ̃, μὴ κατὰ
2 σάρκα περιπατȣ̃σιν, ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος
τȣ̃ πνεύματος τῆς ζωῆς ἐν χριστῷ ἰησȣ̃, ἠλευθέρωσέ με
3 ἀπὸ τȣ̃ νόμȣ τῆς ἁμαρτίας καὶ τȣ̃ θανάτȣ. Τὸ γὰρ ἀδύ-
νατον τȣ̃ νόμȣ, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν
ἑαυτȣ̃ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ πε-
4 ρὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ
δικαίωμα τȣ̃ νόμȣ πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα
περιπατȣ̃σιν, ἀλλὰ κατὰ πνεῦμα. Οἱ γὰρ κατὰ σάρκα
ὄντες, τὰ τῆς σαρκὸς φρονȣ̃σιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τȣ̃
5 πνεύματος. τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος· τὸ
7 δὲ φρόνημα τȣ̃ πνεύματος, ζωὴ καὶ εἰρήνη. Διότι τὸ φρό-
νημα τῆς σαρκὸς, ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τȣ̃ θεȣ̃
8 ȣ̃χ ὑποτάσσεται, ȣ̃δὲ γὰρ δύναται· οἱ δὲ ἐν σαρκὶ ὄντες,
9 θεῷ ἀρέσαι ȣ̃ δύνανται. Ὑμεῖς δὲ ȣ̃κ ἐστὲ ἐν σαρκὶ,
ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεȣ̃ οἰκεῖ ἐν ὑμῖν. εἰ δὲ
10 τις πνεῦμα χριστȣ̃ ȣ̃κ ἔχει, ȣ̃τος ȣ̃κ ἔστιν αὐτȣ̃. εἰ δὲ
χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ
11 πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τȣ̃ ἐγείαντ-
τος ἰησȣ̃ ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείας τὸν χριστὸν
ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ
τὸ ἐνοικȣ̃ν αὐτȣ̃ πνεῦμα ἐν ὑμῖν.
12 Ἄρα ȣ̃ν ἀδελφοὶ, ὀφειλέται ἐσμὲν ȣ̃ τῇ σαρκὶ, τȣ̃ κα-
13 τὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀπο-
θνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τȣ̃ σώματος θα-
14 νατȣ̃τε, ζήσεσθε. Ὅσοι γὰρ πνεύματι θεȣ̃ ἄγονται,

23 τῷ med.] ἐν τῷ β 25 εὐχαριστῶ] χάρις δὲ δ
VIII 1 ἀλλὰ κατὰ πνεῦμα] ' β
11 τὸ ἐνοικȣ̃ν αὐτȣ̃ πνεῦμα] τȣ̃ ἐνοικȣ̃ντος αὐτȣ̃ πνεύματος δ
13 τȣ̃ σώματος] τῆς σαρκὸς γ

ȣ̃τος

τοί εἰσιν υἱοὶ θεȣ̃. ȣ̓ γὰρ ἐλάβετε πνεῦμα δȣλείας πάλιν 15
εἰς φόβον, ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν,
Ἀββᾶ ὁ πατήρ. αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύ- 16
ματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεȣ̃. εἰ δὲ τέκνα, καὶ κλη- 17
ρονόμοι· κληρονόμοι μὲν θεȣ̃, συγκληρονόμοι δὲ χριȣ̃·
ἔιπερ συμπάσχομεν, ἵνα καὶ συνδοξȣθῶμεν. Λογίζομαι 18
γὰρ ὅτι ȣ̓κ ἄξια τὰ παθήματα τȣ̃ νῦν καιρȣ̃ πρὸς τὴν μέλ-
λȣσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Η γὰρ ἀποκαρα- 19
δοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τȣ̃ θεȣ̃ ἀπεκδέ-
χεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, ȣ̓χ ἑκȣ̃σα, 20
ἀλλὰ διὰ τὸν ὑποτάξαντα, | ἐπ᾽ ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ 21
κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δȣλείας τῆς φθορᾶς εἰς τὴν
ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τȣ̃ θεȣ̃. οἴδαμεν γὰρ ὅτι 22
πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τȣ̃ νῦν· ȣ̓ μό- 23
νον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τȣ̃ πνεύματος ἔχον-
τες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκ-
δεχόμενοι, τὴν ἀπολύτρωσιν τȣ̃ σώματος ἡμῶν. τῇ 24
γὰρ ἐλπίδι ἐσώθημεν. ἐλπὶς δὲ βλεπομένη, ȣ̓κ ἔστιν ἐλπίς·
ὃ γὰρ βλέπει τὶς, τί καὶ ἐλπίζει; | εἰ δὲ ὃ ȣ̓ βλέπομεν, 25
ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα. Ὡσαύτως δὲ καὶ 26
τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. τὸ
γὰρ τί προσευξώμεθα καθὸ δεῖ, ȣ̓κ οἴδαμεν, ἀλλ᾽ αὐτὸ
τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν, στεναγμοῖς ἀλαλή-
τοις· ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τȣ̃ πνεύ- 27
ματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. Οἴδαμεν 28
δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθὸν,
τοῖς κατὰ πρόθεσιν κλητοῖς ȣ̓σιν. ὅτι ȣ̓ς προέγνω, καὶ 29
προώρισε, συμμόρφȣς τῆς εἰκόνος τȣ̃ υἱȣ̃ ȣ̓τȣ̃, εἰς τὸ
εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· ȣ̓ς δὲ προώ- 30
ρισε, τȣ̃τȣς καὶ ἐκάλεσε. καὶ ȣ̓ς ἐκάλεσε, τȣ̃τȣς καὶ ἐδι-
καίωσεν· ȣ̓ς δὲ ἐδικαίωσε, τȣ̃τȣς καὶ ἐδόξασε. Τί ȣ̓ν 31
ἐρȣ̃μεν πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τὶς καθ᾽ ἡμῶν;
ὅσγε τȣ̃ ἰδίȣ υἱȣ̃ ȣ̓κ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν 32
πάντων παρέδωκεν αὐτόν· πῶς ȣ̓χὶ καὶ σὺν αὐτῷ τὰ πάν-
τα ἡμῖν χαρίσεται; τὶς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεȣ̃; 33

14 εἰσὶν υἱοὶ θεȣ̃] υἱοὶ θεȣ̃ εἰσιν β
23 αὐτοὶ prius] αὐτοὶ οἱ δ
26 προσευξώμεθα] προσευξόμεθα δ

34 θεὸς ὁ δικαιῶν, | τίς ὁ κατακρίνων; χρισὸς
ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, ὃς καὶ ἔστιν ἐν
35 δεξιᾷ τȣ̃ θεȣ̃, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν· τίς ἡμᾶς
χωρίσει ἀπὸ τῆς ἀγάπης τȣ̃ χρισȣ̃; θλίψις, ἢ στενοχωρία,
ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαι-
36 ρα; καθὼς γέγραπται, Ὅτι ἕνεκα σȣ̃ θανατȣ́μεθα ὅλην
37 τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν
38 τȣ́τοις πᾶσιν ὑπερνικῶμεν διὰ τȣ̃ ἀγαπήσαντος ἡμᾶς. πέ-
πεισμαι γὰρ ὅτι ὄτε θάνατος ὄτε ζωὴ, ὄτε ἄγγελοι ὄτε
39 ἀρχαὶ, ὄτε ᾿ δυνάμεις, ὄτε ἐνεσῶτα ὄτε μέλλοντα, | ὄτε
ὕψωμα ὄτε βάθος, ὄτε τὶς κτίσις ἑτέρα δυνήσεται ἡμᾶς
χωρίσαι ἀπὸ τῆς ἀγάπης τȣ̃ θεȣ̃, τῆς ἐν χρισῷ ἰησȣ̃ τῷ
κυρίῳ ἡμῶν.

9 Ἀλήθειαν λέγω ἐν χρισῷ, ȣ̃ ψεύδομαι, συμμαρτυ-
ρȣ́σης μοι τῆς συνειδήσεώς μȣ ἐν πνεύματι ἁγίῳ·
2 ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρ-
3 δίᾳ μȣ· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τȣ̃
χρισȣ̃ ὑπὲρ τῶν ἀδελφῶν μȣ, τῶν συγγενῶν μȣ κατὰ σάρ-
4 κα· οἵτινές εἰσιν ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα,
καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία καὶ αἱ
5 ἐπαγγελίαι, | ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ χρισὸς τὸ κα-
τὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τȣ̀ς αἰῶνας
6 ἀμήν. ȣ̃χ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τȣ̃ θεȣ̃.
7 ȣ̃ γὰρ πάντες οἱ ἐξ ἰσραὴλ, ȣ̃τοι ἰσραήλ· | ȣ̃δ' ὅτι εἰσὶ
σπέρμα ἀβραάμ, πάντες τέκνα, ἀλλ' ἐν ἰσαάκ κληθήσε-
8 ται σοι σπέρμα. τȣτέστιν, ȣ̃ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα
τέκνα τȣ̃ θεȣ̃· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται
9 εἰς σπέρμα. ἐπαγγελίας γὰρ ὁ λόγος ȣ̃τος, Κατὰ τὸν
10 καιρὸν τȣ̃τον ἐλεύσομαι, καὶ ἔσται τῇ σάρρᾳ υἱός. ȣ̃ μόνον
δὲ, ἀλλὰ καὶ ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχȣσα ἰσαάκ τȣ̃ πα-

35 χρισȣ̃] θεȣ̃ δ
38 ὄτε δυνάμεις, ὄτε ἐνεσῶτα ὄτε μέλλοντα,] ὄτε
ἐνεσῶτα ὄτε μέλλοντα, ὄτε δύναμις γ
IX. 5 ἀμήν] ᾽ γ

VIII. 36 Ps. 44, 23.
IX. 7 Gen. 21, 12. 9 Gen. 18, 10.

τρὸς

τρὸς ἡμῶν· μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι 11
ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ᾽ ἐκλογὴν πρόθεσις τȣ̃ θεȣ̃ μένη, ȣ̓κ ἐξ ἔργων· ἀλλ᾽ ἐκ τȣ̃ καλȣ̃ντος, | ἐῤῥήθη ȣ̓τῇ, 12
Ὅτι ὁ μείζων δȣλεύσει τῷ ἐλάσσονι· καθὼς γέγραπται, 13
Τὸν ἰακὼβ ἠγάπησα, τὸν δὲ ἡσαῦ ἐμίσησα.

Τί ȣ̃ν ἐρȣ̃μεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο. 14
τῷ γὰρ μωσῇ λέγει, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω 15
ὃν ἂν οἰκτείρω. ἄρα ȣ̃ν ȣ̓ τȣ̃ θέλοντος, ȣ̓δὲ τȣ̃ τρέχοντος, ἀλλὰ τȣ̃ ἐλεȣ̃ντος θεȣ̃. λέγει γὰρ ἡ γραφὴ τῷ φαραὼ, Ὅτι εἰς ȣ̓τὸ τȣ̃το ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μȣ, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μȣ ἐν πάσῃ τῇ γῇ. ἄρα ȣ̃ν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει. Ἐρεῖς ȣ̃ν μοι, Τί ἔτι μέμφεται; τῷ γὰρ βȣλήματι 19
ȣ̓τȣ̃ τίς ἀνθέστηκε; μενȣ̃νγε ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας ȣ̓τως; ἢ ȣ̓κ ἔχει ἐξȣσίαν ὁ κεραμεὺς τȣ̃ πηλȣ̃, ἐκ τȣ̃ ȣ̓τȣ̃ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξαθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν ȣ̓τȣ̃, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· καὶ 23
ἵνα γνωρίσῃ τὸν πλȣ̃τον τῆς δόξης ȣ̓τȣ̃, ἐπὶ σκεύη ἐλέȣς, ἃ προητοίμασεν εἰς δόξαν· ȣ̓ς καὶ ἐκάλεσεν ἡμᾶς ȣ̓ μόνον ἐξ ἰȣδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν· ὡς καὶ ἐν τῷ ὡσηὲ λέγει, Καλέσω τὸν ȣ̓ λαόν μȣ, λαόν μȣ· καὶ τὴν ȣ̓κ ἠγαπημένην, ἠγαπημένην. καὶ ἔσται ἐν τῷ τόπῳ ȣ̓ ἐῤῥήθη ȣ̓τοῖς, Οὐ λαός μȣ ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεȣ̃ ζῶντος. ἡσαΐας δὲ κράζει ὑπὲρ τȣ̃ ἰσραὴλ, Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται· λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ· ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προείρηκεν ἡσαΐας, Εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθη-

11 κακὸν] φαῦλον δ ¶ πρόθεσις τȣ̃ θεȣ̃] τȣ̃ θεȣ̃ πρόθεσις ε
23 καὶ] ε

12 Gen. 25, 23. 13 Malach. 1, 2. 3.
15 Ex. 33, 19. 17 Ex. 9, 16. 25 Hos. 2, 25.
27 f. Jesa. 10. 22 f. 29 Jesa. 1, 9.

30 μεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν. Τί οὖν ἐροῦμεν;
ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην,
31 δικαιοσύνην δὲ τὴν ἐκ πίστεως. ἰσραὴλ δὲ διώκων νόμον δικαιο-
32 σύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε· διατί; ὅτι οὐκ
ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου. προσέκοψαν γὰρ τῷ
33 λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται, Ἰδοὺ τίθη-
μι ἐν σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου·
καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

10 Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ
δέησις ἡ πρὸς τὸν θεὸν ὑπὲρ τοῦ ἰσραὴλ ἐστιν εἰς
2 σωτηρίαν. μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ'
3 οὐ κατ' ἐπίγνωσιν. ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην,
καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ
4 θεοῦ οὐχ ὑπετάγησαν. τέλος γὰρ νόμου χριστὸς εἰς δικαιο-
5 σύνην παντὶ τῷ πιστεύοντι. Μωϋσῆς γὰρ γράφει τὴν δικαιο-
σύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος,
6 ζήσεται ἐν αὐτοῖς· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει,
Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρα-
7 νόν; τοῦτ' ἔστι χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς
8 τὴν ἄβυσσον; τοῦτ' ἔστι χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἀλλὰ
τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ
ἐν τῇ καρδίᾳ σου· τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσ-
9 σομεν. ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον ἰησοῦν,
καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ
10 νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην,
11 στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Λέγει γὰρ ἡ γρα-
12 φή, Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται. οὐ γάρ
ἐστι διαστολὴ ἰουδαίου τε καὶ ἕλληνος· ὁ γὰρ αὐτὸς κύριος
13 πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς
14 γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. Πῶς

32 νόμου] ' γ
X. 1 τοῦ ἰσραὴλ] αὐτῶν β 3 δικαιοσύνην alterum] ' ε
5 τὴν δικαιοσύνην · ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς] ὅτι τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου ποιήσας ἄνθρωπος ζήσεται ἐν αὐτῇ δ

33 Jes. 28, 16. 8, 14.
X. 5 Lev. 18, 5. 6 Deut. 30, 14. 11 Jes. 28, 16.
13 Joel. 2, 32.

ἓν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν
ὃ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; | πῶς 15
δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται, Ὡς
ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγε-
λιζομένων τὰ ἀγαθά. Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ 16
εὐαγγελίῳ· ἡσαΐας γὰρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ
ἡμῶν; ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ. 17
ἀλλὰ λέγω, Μὴ οὐκ ἤκουσαν; μενοῦν γε εἰς πᾶσαν τὴν γῆν 18
ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκου-
μένης τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω, Μὴ οὐκ ἔγνω ἰσρα- 19
ήλ; πρῶτος μωϋσῆς λέγει, ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ'
οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. ἡσαΐας δὲ 20
ἀποτολμᾷ καὶ λέγει, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμ-
φανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι· πρὸς δὲ τὸν ἰσραὴλ 21
λέγει, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς
λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.

Λέγω οὖν, Μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; μὴ 11
γένοιτο· καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ, ἐκ σπέρ-
ματος ἀβραὰμ, φυλῆς βενιαμίν. οὐκ ἀπώσατο ὁ θεὸς 2
τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. ἢ οὐκ οἴδατε ἐν ἠλίᾳ τί λέ-
γει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ ἰσραὴλ, λέ-
γων, Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυ- 3
σιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ
ζητοῦσι τὴν ψυχήν μου. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματι- 4
σμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ
ἔκαμψαν γόνυ τῇ βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ 5
λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. εἰ δὲ χάριτι, οὐκ 6
ἔτι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις. ᾳ εἰ δὲ
ἐξ ἔργων, οὐκ ἔτι ἐστὶ χάρις. ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔρ-
γον. Τί οὖν; ὃ ἐπιζητεῖ ἰσραὴλ, τοῦτο οὐκ ἐπέτυχεν, 7

17 θεοῦ] χριστοῦ ε XI. 2 λέγων] ' β
6 εἰ δὲ ἐξ usque οὐκέτι ἐστὶν ἔργον] ' δ
7 τοῦτο] τοῦτο δ

15 Jesa. 52, 7. 16 Jesa. 53, 1.
18 Ps. 19, 5. 19 Deut. 32, 21. 20 s. Jes. 65, 1 s.
XI. 1 Ps. 94, 14. 2 1. Reg. 19, 10. 4 1. Reg. 19, 18.

8 ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν, | καθὼς
γέγραπται, Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως,
ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως
9 τῆς σήμερον ἡμέρας. καὶ δαυὶδ λέγει, Γενηθήτω ἡ τρά-
πεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον
10 καὶ εἰς ἀνταπόδομα αὐτοῖς· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐ-
τῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγ-
11 καμψον. Λέγω οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι; μὴ γέ-
νοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνε-
12 σιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐ-
τῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν·
13 πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν; Ὑμῖν γὰρ λέγω τοῖς
ἔθνεσιν· ἐφ᾽ ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν δια-
14 κονίαν μου δοξάζω, | εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ
15 σώσω τινὰς ἐξ αὐτῶν. εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν, καταλλα-
16 γὴ κόσμου· τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν; | εἰ δὲ
ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία,
17 καὶ οἱ κλάδοι. εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ
δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς
18 τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ κατα-
καυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν
19 βαστάζεις, ἀλλ᾽ ἡ ῥίζα σέ. Ἐρεῖς οὖν, Ἐξεκλάσθησαν κλάδοι,
20 ἵνα ἐγὼ ἐγκεντρισθῶ. καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν,
21 σὺ δὲ τῇ πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ· | εἰ
γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μή πως
22 οὐδὲ σοῦ φείσεται. Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ·
ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν· ἐπὶ δὲ σέ, χρηστότητα,
23 ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. καὶ
ἐκεῖνοι δὲ ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται·
24 δυνατὸς γάρ ἐστιν ὁ θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. εἰ γὰρ
σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν
ἐνεκεντρίσθης εἰς καλλιέλαιον· πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ
25 φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; Οὐ γὰρ θέλω
ὑμᾶς ἀγνοεῖν ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ᾽

9 αὐτῶν] αὐτῶν ἐνώπιον αὐτῶν δ
12 πλοῦτος prius] σωτηρία δ 21 φείσεται] φείσηται δ

8 Deut. 29, 3. Jesa. 29, 10. 9 Ps. 69, 23 f.

ἑαυ-

ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ ἰσραὴλ γέγο-
νεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτω 26
πᾶς ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται, Ἥξει ἐκ σιὼν
ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ ἰακώβ· καὶ αὕ- 27
τη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρ-
τίας αὐτῶν. Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι᾽ ὑμᾶς· 28
κατὰ δὲ τὴν ἐκλογὴν, ἀγαπητοὶ διὰ τοὺς πατέρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ θεοῦ. 29
Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτὲ ἠπειθήσατε τῷ θεῷ, νῦν δὲ ἠλεήθητε 30
τῇ τούτων ἀπειθείᾳ· οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν, τῷ ὑμε- 31
τέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. συνέκλεισε γὰρ ὁ θεὸς 32
τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. Ω 33
βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύ-
νητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς 34
γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ 35
τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ 36
αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα
εἰς τοὺς αἰῶνας ἀμήν.

ΠΑΡΑΚΑΛΩ οὖν ὑμᾶς ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ 12
θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν,
ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν· καὶ 2
μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ
ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέ-
λημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον. Λέ- 3
γω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι
ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν
εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως.
Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη 4
πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἕν σῶμά 5
ἐσμεν ἐν χριστῷ, ὁ δὲ καθεὶς ἀλλήλων μέλη, ἔχοντες δὲ 6
χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα· εἴ-

30 καὶ] ᾽ δ
31 τῷ ὑμετέρῳ ἐλέει,], τῷ ὑμετέρῳ ἐλέει δ
XII. 2 ὑμῶν] ᾽ δ

26 Jesa. 59, 20 f. Jer. 31, 33 f.
34 Jesa. 40, 13. 35 Job. 41, 2.

7 τε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·
8 | εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει. ὁ μεταδιδὸς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλα-
9 ρότητι. Η ἀγάπη ἀνυπόκριτος. ἀποστυγοῦντες τὸ πο-
10 νηρὸν, κολλώμενοι τῷ ἀγαθῷ· τῇ φιλαδελφίᾳ, εἰς ἀλλή-
11 λους φιλόστοργοι· τῇ τιμῇ ἀλλήλους προηγούμενοι· | τῇ σπου-
δῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες·
12 τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ
13 προσκαρτεροῦντες· ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες, τὴν
14 φιλοξενίαν διώκοντες· | εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλο-
15 γεῖτε, καὶ μὴ καταρᾶσθε. χαίρειν μετὰ χαιρόντων, καὶ
16 κλαίειν μετὰ κλαιόντων. τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.
17 μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς. | μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώ-
18 πων· εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων
19 εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοὶ, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γὰρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀν-
20 ταποδώσω, λέγει Κύριος. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποιῶν,
21 ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

13 Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γὰρ ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξου-
2 σίαι, ὑπὸ θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστη-
3 κότες, ἑαυτοῖς κρίμα λήψονται. οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἔξεις ἔπαι-
4 νον ἐξ αὐτῆς· θεοῦ γὰρ διάκονός ἐστι, σοὶ εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν

11 κυρίῳ] καιρῷ ε Vid. ed. major. 20 οὖν] ᾽ δ
XIII. 1 ἀπὸ] ὑπὸ β ¶ ἐξουσίαι] ᾽ δ
3 τῶν ἀγαθῶν usq. κακῶν] τῷ ἀγαθῷ ἔργῳ, ἀλλὰ τῷ κακῷ β

XII. 19 Deut. 32, 35. 20 Prov. 25, 21 f.

φορεῖ· θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κα-
κὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν 5
ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. διὰ τοῦτο γὰρ καὶ φό- 6
ρους τελεῖτε· λειτουργοὶ γὰρ θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσ-
καρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φό- 7
ρον, τὸν φόρον. τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον,
τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν. Μηδενὶ μηδὲν 8
ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν
ἕτερον, νόμον πεπλήρωκε. τὸ γὰρ, Οὐ μοιχεύσεις, οὐ φο- 9
νεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις,
καὶ εἴ τις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται,
ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἡ ἀγάπη 10
τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Καὶ τοῦτο, εἰδότες τὸν καιρὸν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ 11
ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία,
ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. 12
ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ
ὅπλα τοῦ φωτός. ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, 13
μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ
ἔριδι καὶ ζήλῳ· ἀλλὰ ἐνδύσασθε τὸν κύριον Ἰησοῦν χριστὸν, 14
καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε, μὴ εἰς 14
διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φα- 2
γεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. ὁ ἐσθίων, τὸν μὴ 3
ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ
κρινέτω· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρί- 4
νων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει, σα-
θήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. Ὃς 5
μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν.
ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. ὁ φρονῶν τὴν ἡμέ- 6
ραν, κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, κυρίῳ
οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ

9 οὐ ψευδομαρτυρήσεις [' β
XIV. 1 διαλογισμῶν] λογισμῶν δ

XIII. 9 Ex. 20, 13 f. Lev. 19, 18.

θεῷ·

θεῷ· καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ
7 θεῷ. οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνή-
8 σκει. ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνῄ-
σκωμεν, τῷ κυρίῳ ἀποθνῄσκομεν. ἐάν τε οὖν ζῶμεν, ἐάν
9 τε ἀποθνῄσκωμεν, τοῦ κυρίου ἐσμέν. εἰς τοῦτο γὰρ χριστὸς
καὶ ἀπέθανε ° καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ
10 ζώντων κυριεύσῃ. Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ
καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παρασταθη-
11 σόμεθα τῷ βήματι τοῦ χριστοῦ. γέγραπται γάρ, Ζῶ ἐγώ, λέγει
Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα
12 γλῶσσα ἐξομολογήσεται τῷ θεῷ· ἄρα οὖν ἕκαστος ἡμῶν
13 περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ. Μηκέτι οὖν ἀλλήλους
κρίνωμεν· ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρό-
14 σκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. οἶδα καὶ πέπεισμαι ἐν
κυρίῳ ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι' αὐτοῦ, εἰ μὴ τῷ λογιζομένῳ
15 τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν· εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός
σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ
βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ χριστὸς ἀπέθανε.
16.17 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. οὐ γάρ
ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύ-
18 νη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ· ὁ γὰρ ἐν τούτοις
δουλεύων τῷ χριστῷ, εὐάρεστος τῷ θεῷ, καὶ δόκιμος τοῖς
19 ἀνθρώποις. ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς
20 οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κα-
τάλυε τὸ ἔργον τοῦ θεοῦ. πάντα μὲν καθαρά, ἀλλὰ κακὸν
21 τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι· καλὸν τὸ μὴ
φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου
22 προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ. σὺ πίστιν ἔχεις; κα-
τὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ· μακάριος ὁ μὴ κρίνων
23 ἑαυτὸν ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κα-
τακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως,
ἁμαρτία ἐστίν.

6 καὶ ἀνέστη] ' α ¶ ἔζησεν] ἀνέζησεν ε
15 δὲ] γὰρ δ
16 ὑμῶν] ἡμῶν δ
21 ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ] ' ε

XIV. 11 Jesa. 45, 23.

Ὀφείλο-

15 Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀδενήματα 1
τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν·
ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰ- 2
κοδομήν. καὶ γὰρ ὁ χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς 3
γέγραπται, Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ'
ἐμέ. ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν 4
προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ διὰ τῆς παρακλή-
σεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχωμεν. ὁ δὲ θεὸς τῆς ὑπο- 5
μονῆς καὶ τῆς παρακλήσεως δώη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν
ἀλλήλοις κατὰ χριστὸν ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόμα- 6
τι δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν ἰησοῦ χρι-
στοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ χρι- 7
στὸς προσελάβετο ὑμᾶς εἰς δόξαν θεοῦ. λέγω δὲ, χριστὸν 8
ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς
τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· τὰ δὲ ἔθνη 9
ὑπὲρ ἐλέους δοξάσαι τὸν θεὸν, καθὼς γέγραπται, Διὰ τοῦ-
το ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψα-
λῶ. καὶ πάλιν λέγει, Εὐφράνθητε ἔθνη, μετὰ τοῦ λαοῦ 10
αὐτοῦ. καὶ πάλιν, Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, 11
καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. καὶ πάλιν ἡσαΐας 12
λέγει, Ἔσται ἡ ῥίζα τοῦ ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν
ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. ὁ δὲ θεὸς τῆς ἐλπίδος 13
πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν,
εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου.

ΠΕΠΕΙΣΜΑΙ δὲ ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, 14
ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι
πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν. τολμη- 15
ρότερον δὲ ἔγραψα ὑμῖν ἀδελφοί, ἀπὸ μέρους, ὡς ἐπαναμι-

XV. 2 ἕκαστος] ἕκαστος γὰρ *b* ¶ ἡμῶν] ὑμῶν *δ*
4 προεγράφη alterum] ἐγράφη *δ*
5 χριστὸν ἰησοῦν] ἰησοῦν χριστὸν *γ* 7 ὑμᾶς] ἡμᾶς *δ*
8 χριστὸν ἰησοῦν] χριστὸν vel ἰησοῦν χριστὸν *δ*
11 med. καὶ] ' *δ* 14 ἀλλήλους] ἄλλους *δ*
15 ἀδελφοί] ' *δ*

XV. 3 Pſ. 69, 10. 9 Pſ. 18, 50. 10 Deut. 32, 43.
11 Pſ. 117, 1. 12 Jeſa. 11, 10.

μνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ
16 θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν ἰησοῦ χριστοῦ εἰς τὰ ἔθνη,
ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα γένηται ἡ προσφορὰ
τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.
17.18 ἔχω οὖν καύχησιν ἐν χριστῷ ἰησοῦ τὰ πρὸς τὸν θεόν· οὐ γὰρ
τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο χριστὸς δι' ἐμοῦ, εἰς
19 ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, | ἐν δυνάμει σημείων καὶ
τεράτων, ἐν δυνάμει πνεύματος θεοῦ· ὥστε με ἀπὸ ἱερουσα-
λὴμ καὶ κύκλῳ μέχρι τοῦ ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγ-
20 γέλιον τοῦ χριστοῦ· οὕτω δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι,
οὐχ ὅπου ὠνομάσθη χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον
21 οἰκοδομῶ· ἀλλὰ καθὼς γέγραπται, Οἷς οὐκ ἀνηγγέλη πε-
22 ρὶ αὐτοῦ, ὄψονται· καὶ οἱ οὐκ ἀκηκόασι, συνήσουσι. Διὸ
23 καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. νυνὶ δὲ
μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ
24 ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν· ὡς ἂν πο-
ρευόμαι εἰς τὴν σπανίαν, ὃ ἐλεύσομαι πρὸς ὑμᾶς. ἐλπίζω
γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς, καὶ ὑφ' ὑμῶν προ-
πεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ.
25 Νυνὶ δὲ πορεύομαι εἰς ἱερουσαλὴμ, διακονῶν τοῖς ἁγίοις.
26 εὐδόκησαν γὰρ μακεδονία καὶ ἀχαΐα κοινωνίαν τινὰ ποιήσα-
27 σθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν ἱερουσαλήμ· εὐδόκη-
σαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσιν. εἰ γὰρ τοῖς πνευμα-
τικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρ-
28 κικοῖς λειτουργῆσαι αὐτοῖς. τοῦτο οὖν ἐπιτελέσας, καὶ σφρα-
γισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι' ὑμῶν
29 εἰς τὴν σπανίαν. οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν
πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ χριστοῦ ἐλεύσομαι.
30 Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ, διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος, συναγωνίσασθαί
31 μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν· ἵνα ῥυσθῶ
ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου
32 ἡ εἰς ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις· ἵνα ἐν
χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος θεοῦ, καὶ συναν-

24 ἐλεύσομαι πρὸς ὑμᾶς· ἐλπίζω γὰρ] ἐλπίζω β
29 τοῦ εὐαγγελίου τοῦ] ᾽ δ

21 Jesa. 52, 15.

παύσωμαι ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν 33
ἀμήν.

Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν 16
διάκονον τῆς ἐκκλησίας τῆς ἐν κεγχρεαῖς· ἵνα αὐτὴν προσ- 2
δέξησθε ἐν κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν
ᾧ ἂν ὑμῶν χρήζῃ πράγματι· καὶ γὰρ αὐτὴ προστάτις
πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ. Ἀσπάσασθε Πρίσκαν καὶ 3
Ἀκύλαν τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ· οἵτινες ὑπὲρ τῆς 4
ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, οἷς οὐκ ἐγὼ μόνος
εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν·
| καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. ἀσπάσασθε Ἐπαίνετον 5
τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς ° ἀχαΐας εἰς Χρι-
στόν. ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. 6
ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου καὶ συναι- 7
χμαλώτους μου· οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις,
οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ. ἀσπάσασθε Ἀμπλίαν 8
τὸν ἀγαπητόν μου ἐν κυρίῳ. ἀσπάσασθε Οὐρβανὸν τὸν συνερ- 9
γὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου. ἀσπά- 10
σασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν
Ἀριστοβούλου. | ἀσπάσασθε Ἡρωδίωνα τὸν συγγενῆ μου. ἀσπά- 11
σασθε τοὺς ἐκ τῶν Ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ. ἀσπάσασθε 12
Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν κυρίῳ. ἀσπάσα-
σθε Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ.
ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ, καὶ τὴν μητέρα 13
αὐτοῦ καὶ ἐμοῦ. ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, 14
Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. ἀσπάσα- 15
σθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ,
καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. | ἀσπά- 16
σασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς αἱ
ἐκκλησίαι τοῦ Χριστοῦ. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, σκο- 17
πεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδα-
χὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλίνατε ἀπ' αὐ-

33 ἀμήν] ' β
XVI. 5 ἀχαΐας] ἀσίας β
14 ἑρμᾶν, πατρόβαν, ἑρμῆν] ἑρμῆν, πατροβᾶν, ἑρμᾶν δ
16 ἐκκλησίαι] ἐκκλησίαι πᾶσαι δ

18 τῶν. οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ
19 εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο· χαίρω οὖν τὸ ἐφ' ὑμῖν· θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ
20 εἰς τὸ κακόν. ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰη-
21 σοῦ χριστοῦ μεθ' ὑμῶν. Ἀσπάζονται ὑμᾶς τιμόθεος ὁ συνεργός μου, καὶ λούκιος καὶ ἰάσων καὶ σωσίπατρος οἱ
22 συγγενεῖς μου. ἀσπάζομαι ὑμᾶς ἐγὼ τέρτιος ὁ γράψας τὴν
23 ἐπιστολὴν ἐν κυρίῳ. ἀσπάζεται ὑμᾶς γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. ἀσπάζεται ὑμᾶς ἔραστος ὁ οἰκο-
24 νόμος τῆς πόλεως, καὶ κούαρτος ὁ ἀδελφός. Η χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν ἀμήν.

25 Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα ἰησοῦ χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου
26 χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς
27 ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ θεῷ, διὰ ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

Προς ρωμαιους εγραφη απο κορινθου δια φοιβης της διακονου της εν κεγχρεαις εκκλησιας.

18 ἡμῶν] ' δ ¶ ἰησοῦ] ' δ

20 συντρίψει] συντρίψαι δ

24 ἡ usq. ὑμῶν] ' γ ¶ ἀμὴν] ' β

26 διά τε] διὰ γ